# Colonus Ode – First strophe and antistrophe

Χο. εὐίππου, ξένε, τᾶσδε χώ-

εὔιππος
famed for horse

ρας ἵκου τὰ κράτιστα γᾶς ἔπαυλα,

ἔπαυλος – fold

τὸν ἀργῆτα Κολωνόν, ἔνθ'

ἀργής – shining

ἁ λίγεια μινύρεται

(ἡ) λίγεια – λιγύς – clear, shrill
μινύρομαι – warble

θαμίζουσα μάλιστ' ἀη-

θαμίζω – come often, be constant
ἀηδών, ονος – nightingale

δὼν χλωραῖς ὑπὸ βάσσαις,

χλωρός – greenish yellow
ἡ βῆσσα – glen

τὸν οἰνωπὸν ἔχουσα κισ-

ὁ κισσός – ivy

σὸν καὶ τὰν ἄβατον θεοῦ

ἄβατος – untrod

φυλλάδα μυριόκαρπον ἀνήλιον

ἡ φυλλάς leafy place
μυριόκαρπος teeming with fruit
ἀνήλιος sun-less

ἀνήνεμόν τε πάντων

ἀνήνεμος windless

χειμώνων· ἵν' ὁ βακχιώ-

ὁ βακχιώτας = Bacchic reveller

τας ἀεὶ Διόνυσος ἐμβατεύει

ἐμβατεύω – walks on

θείαις ἀμφιπολῶν τιθήναις.

ὁ ἀμφιπολῶν attendant
ἡ τιθήνη nurse

θάλλει δ᾽ οὐρανίας ὕπ᾽ ἄ-
Θάλλω flourish οὐράνιος heavenly
χνας ὁ καλλίβοτρυς κατ᾽ ἦμαρ αἰεὶ
ἡ ἄχνη dewdrops καλλίβοτρυς fine-clustered = ἡμέρα
νάρκισσος, μεγάλαιν θεαῖν

ἀρχαῖον στεφάνωμ᾽, ὅ τε
τὸ στεφάνωμα crown
χρυσαυγὴς κρόκος· οὐδ᾽ ἄυ-
χρυσαυγής golden
πνοι κρῆναι μινύθουσιν
ἄϋπνος sleepless ἡ κρήνη spring μινυθέω lessen
Κηφισοῦ νομάδες ῥεέ-
ἡ νομάς - wanderer
θρων, ἀλλ᾽ αἰὲν ἐπ᾽ ἤματι

ὠκυτόκος πεδίων ἐπινίσεται
ὠκυτόκος quickly ἐπινίσσομαι - go over
ἀκηράτῳ ξὺν ὄμβρῳ
ἀκήρατος undefiled
στερνούχου χθονός· οὐδὲ Μου-
στερνοῦχος broad-swelling
σᾶν χοροί νιν ἀπεστύγησαν, οὐδ᾽ αὖθ᾽

ἁ χρυσάνιος Ἀφροδίτα.
χρυσάνιος golden-reined